οὐν ἱερῶν ῥημάτων, καὶ ἴδια τοῦ σωτῆρος τουτονὶ τὸν ὁρώ-
μενον κόσμον καλούντων, καὶ δι᾽ αὐτοῦ κηρυττόντων αὐτὸν
γενέσθαι, καὶ τοὺς ἐρχομένους εἰς τὸν κόσμον οὐκ ἄλλον, ἀλλ᾽
αὐτὸν εἶναι τὸν φωτίζοντα· πῶς οὐ πεφήνασι τὰ τῆς
ἀποστασίας ὡς ἀληθῶς πλάσματα, καὶ τοῦ πονηροῦ
τέκνα, ἄλλον μὲν εἰσάγοντες δημιουργὸν τοῦ ὁρωμένου
κόσμου, ἕτερον δὲ τὸν φωτίζοντα τὸν ἐρχόμενον εἰς τὸν
κόσμον;* ὃν τῆς νοητῆς μόνον δημιουργὸν καταλείπου-
σιν ὑποστάσεως; καὶ ~~καὶ~~ ἀλλαχόθεν ἄντις ~~αὐτοῖς~~ τὸ ἄτοπον ἐπι-
δείξῃ ἀνακαλυπτόμενον. εἰ γὰρ τὰ ἐπίγεια ἐστὶ τοῦ πο-
νηροῦ, πῶς ἠνέχετο διὰ τῶν καρπῶν, οὓς ἔφυσε τὸ φύ-
ημα τοῦ πονηροῦ, τοῦτο μὲν καὶ ἐκ πέντε ἄρτων, τοῦτο δὲ
ἐξ ἑπτὰ πολλὰς μυριάδας χορτάσαι. Πόσῳ γὰρ ἦν ἄμει-
νον καὶ θεοπρεπέστερον, μὴ ἐξ ἀλλοτρίων καρπῶν, ἀλλ᾽ ἐξ
οἰκείων δημιουργημάτων τρέφειν τοὺς μυσταγωγουμένους
αὐτῷ; μᾶλλον δὲ πῶς ὅλως τροφὴν ἢ ποτὸν αὐτοῖς
προσηνέγκατο, ἃ καρπὸς ἦν τῶν ἔργων τοῦ πονηροῦ;
Πῶς δὲ πάλιν ~~τοὺς~~ ὀφθαλμοὺς δημιουργῶν τῷ τυφλῷ,
οὐκ ἐξ ἄλλης ὕλης, ἀλλ᾽ ἐκ γῆς καὶ ὕδατος, ἅπερ ἦν
τοῦ πονηροῦ, τὴν ὄψιν ἐκαινοποίει, μονονουχὶ συμμερι-
ζόμενος τῷ ἐχθρῷ· καὶ τῷ μὲν ἀφεὶς τὸ πλέον ποιεῖν,
αὐτὸς δὲ τὸ μέρος ἐξ ἀλλοτρίας ὕλης, ὥσπερ ἀπορῶν
ἰδίας, καὶ τοῦ ἀλλοτρίου πλάσματος ἀναπληρῶν;
Καίτοι εἰ μή τι ἄλλο, ἀλλ᾽ αὐτό γε τοῦτο τοὺς ἀθλίους ἔδει
δυσωπηθῆναι καὶ κατανοῆσαι. ὅτι ὄντως ὁ πλάσας
τὸν ὀφθαλμὸν ἐκ πηλοῦ, αὐτός ἐστιν, ὁ καὶ κατ᾽ ἀρχὰς
πλάσας τὸν ἄνθρωπον ἐκ πηλοῦ. ἧς γὰρ ὕλης ἐστὶ
τὸ μέρος, τῆς αὐτῆς καὶ τὸ ὅλον. καὶ ὃν ἔχει τὸ ὅλον δη-
μιουργὸν

" f. θεοῦ παραλαβὼν